& quod ad ciuium audentiam ea res confert non mediocriter, quippe quòd grauioris armaturæ peditibus, equitibúsque, ac velitibus ludos celebrantibus, ciues ea ambitione delectati audentiores fient. Ab honesto autem dicemus, si hoc modo celebritates pulchras spectari contigerit. A iucunditate verò, si & varietas quædam circa Deorum sacrificia ad spectandum accesserit. A possibili autem, si in eiuscemodi ludis nihil fiat, neque parum, neque nimis. Cùm igitur in rebus diu constitutis consultatio nobis 'habetur, cùm hæc tractamus, operæpretium est de antè dictis, aut de horum similibus consideremus, & ea pro rei natura edoceamus. Cùm verò consultemus, vt ad splendidiorem quendam apparatum sacrificia traducantur, eæ sunt causæ nobis adferendæ, quibus meritò consuetudines patrias mouere videamur, dictitantes addere præsētibus quicquam, id haud esse soluere, sed augere potiùs res antea constitutas, ac firmatas: deinde quod & consentaneum sit, Deos immortales beneuolentiores in eos esse, à quibus magis venerentur. Item quod nèque maiores ipsi eundem semper modum in sacrificiis obseruabant, sed pro tempore, próque secundis rebus, & priuatim, & publicè Deorum cultum legibus sanciebant: postea verò quod veluti in cæteris rebus omnibus consueuimus, ita & Respublicas, atque priuatas domos administramus. Dicas enim opus est, si qua ex his ita constitutis vtilitas ciuitati, aut splendor, aut voluptas futura est. Quæ quidem omnia ita tractabis, veluti in superioribus dictum est. Cùm ad humilius exhortamur, primùm quidē temporibus est accommodanda oratio, dicendúmque quibus in rebus deteriùs nunc habeant, quàm anteà habuissēt: deinde vero quod ne consentaneum quidem sit, Deos sacrificantium sumptibus, sed pietate potius gaudere. Item quòd eos, qui supra vires quicquam faciūt, & Dij, & homines, quàm stultissimos iudicant. Demum vero, quod nec in hominum arbitriis publici sumptus, modo, verùm & in secundis, aduersisque rebus existunt. Has igitur causas & harum similes, in sacrificiorum propositionibus habebimus. Vt autem & quæ ad optimum sacrificium pertinent sciamus & exponere & sancire, hoc etiam definiam. Est enim id vnum omnium quidem optimum sacrificium, quod aduersus Deos piè ac diuinè, ad sūptus vero moderatè, ad bellū autē viriliter, ad spectacula

A καὶ ὅτι πρὸς εὐτολμίαν λυσιτελεῖ τοῖς πολίταις· ἐπεὶ συμπομπευόντων ὁπλιτῶν, ἱππέων, ψιλῶν, εὐτολμότεροι γίνοιντ᾽ ἂν οἱ πολῖται φιλοτιμούμενοι περὶ ταῦτα. ἐκ δὲ τοῦ καλοῦ, εἰ οὕτω λαμπρὰς τὰς ἑορτὰς πρὸς τὸ θεωρῆσαι συμβέβηκεν. ἐκ δὲ τῆς ἡδονῆς, εἰ καὶ πρὸς τὸ θεωρεῖσθαι ποικιλία τῆς περὶ τὰς τῶν θεῶν θυσίας. ἐκ δὲ τοῦ δυνατοῦ, εἰ B μήτε ἔνδεια γεγένηται, μήτε ὑπερβολὴ περὶ ταύτας. ὅταν μὲν οὖν τοῖς καθεστῶσι συνηγορῶμεν οὕτω μετιοῦσι, σκεπτέον ἐπὶ τῶν προειρημένων, ἢ τῶν τούτοις ὁμοιοτρόπων, καὶ ὡς ἐνδέχεται διδάσκειν περὶ τῶν λεγομένων. ὅταν δὲ ἐπὶ τὸ μεγαλοπρεπέστερον συμβουλεύωμεν μεθιστάναι τὰς ἱεροποιΐας, περὶ μὲν τοῦ τὰ πάτρια κινεῖν, ἀφορμὰς ἕξομεν εὐπρεπεῖς, λέγοντες ὅτι τὸ προστιθέναι C τοῖς ὑπάρχουσιν, οὐ καταλύειν ἐστὶν, ἀλλ᾽ αὔξειν τὰ καθεστῶτα. ἔπειθ᾽ ὡς καὶ τοὺς θεοὺς εἰκὸς εὐνουστέρους εἶναι, τοῖς μᾶλλον αὐτοὺς τιμῶσιν· ἔπειθ᾽ ὡς οὔτε οἱ πατέρες ἀεὶ κατὰ τὰ αὐτὰ τὰς θυσίας ἦγον, ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰς εὐπραγίας ὁρῶντες, καὶ ἰδίᾳ καὶ κοινῇ τὴν πρὸς τοὺς θεοὺς θεραπείαν ἐνομοθέτουν. ἔπειθ᾽ ὡς καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων, D οὕτω καὶ τὰς πόλεις καὶ τοὺς ἰδίους οἴκους διοικοῦμεν. λέγε δὲ καὶ εἰ τούτων κατασκευασθέντων ὠφέλειά τις ἔσται τῇ πόλει, ἢ λαμπρότης, ἢ ἡδονὴ, μετιὼν ὥσπερ ἐπὶ τῶν προτέρων εἴρηται. ὅταν δὲ ἐπὶ τὸ ταπεινότερον συστέλλωμεν, πρῶτον μὲν ἐπὶ τοὺς καιροὺς τὸν λόγον ἀνακτέον, τί πράττοντες χεῖρον οἱ πολῖται τυγχάνουσι νῦν ἢ πρότερον. ἔπειθ᾽ ὡς οὐκ εἰκὸς τοὺς θεοὺς χαίρειν ταῖς E δαπάναις τῶν θυομένων, ἀλλὰ ταῖς εὐσεβείαις τῶν θυόντων. εἶθ᾽ ὡς πολλὴν ἄνοιαν τούτων, καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι κατακρίνουσιν, ὅσοι παρὰ δύναμίν τι ποιοῦσιν. ἔπειθ᾽ ὅτι οὐκ ἐπὶ τοῖς ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἐπὶ ταῖς εὐπραγίαις καὶ κακοπραγίαις ἐστὶ τὰ περὶ τὰς πολιτικὰς δαπάνας. ἀφορμὰς μὲν οὖν ταύτας καὶ τὰς ὁμοιοτρόποις ταύταις ὑπὲρ τῶν περὶ τὰς θυσίας προσθέσεων ἕξομεν. F ἵνα δὲ καὶ τὰ κατὰ τὴν κρατίστην θυσίαν εἰδῶμεν εἰσηγεῖσθαι καὶ νομοθετεῖν, ὁρισόμεθα καὶ ταύτην. ἔστι γὰρ κρατίστη θυσία πασῶν ἥτις ἂν ἔχῃ, πρὸς μὲν τοὺς θεοὺς ὁσίως καὶ θείως· πρὸς δὲ τὰς δαπάνας, μετρίως· πρὸς δὲ πόλεμον, ὠφελίμως· πρὸς δὲ τὰς